UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

Compendium Historiae Ecclesiasticae Philostorgii quod dictavit Photius Patriarcha.

**urn:nbn:de:hbz:466:1-14162**

Visual Library

## ΕΚ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ἱστοριῶν Φιλοστοργίου ἐπιτομὴ, ἀπὸ φωνῆς Φωτίου πατριάρχου.

ΟΤι ἐν δώδεκα λόγοις αὐτοῦ ἡ ἱστορία περαίνεται, ἀπαρτιζόντων αὐτοῦ τοὔνομα τῶν ἑκάστου λόγου ἀρχομένων γραμμάτων ἐν τάξει συντιθεμένων. ἄρχεται μὲν ἀπὸ τῆς ἀρείου πρὸς ἀλέξανδρον ὡς αὐτὸς λέγει ἔριδος. ἣν καὶ τῆς αἱρέσεως αἰτίαν ἀναγράφει· κάτεισι δὲ μέχρι τῆς οὐαλεντινιανοῦ, ὃς ἦν παῖς πλακιδίας καὶ κωνσταντίου, εἰς βασιλέα ἀναῤῥήσεως, καὶ τῆς ἰωάννου τοῦ τυράννου ἀναιρέσεως. ἡ δὲ ἱστορία τῶν αἱρετιζόντων ἐστὶν ἐγκώμιον αὐτῶν. ὥσπερ καὶ τῶν ὀρθοδόξων διαβολὴ καὶ ψόγος μᾶλλον ἢ ἱστορία.

## A COMPENDIUM HISTORIÆ Ecclesiasticæ Philostorgii quod dictavit Photius Patriarcha.

*HVIUS Scriptoris historia duodecim libris comprehenditur. Primæ autem litteræ uniuscujusque libri simul junctæ, nomen Auctoris efficiunt. Porro historiam suam orditur ab Arii Alexandrini, ut quidem ipse vocat, rixâ & contentione adversus Alexandrum: quam quidem causam dicit hæreseos. Progreditur verò usque ad nuncupationem augustam* B *Valentiniani Iunioris, qui filius fuit Placidiæ & Constantii: & usque ad cædem Ioannis Tyranni. Cæterum hæc historia encomium quidem est hæreticorum: Orthodoxorum autem criminatio ac vituperatio potius quàm historia.*

## ΕΚ ΤΗΣ ΠΡΩΤΗΣ ΙΣΤΟΡΙΑΣ.

ΟΤι τῶν μακκαβαϊκῶν φησὶ τὸν συγγραφέα ὅστις ποτέ ἐστιν ἀγνοεῖν. πλὴν τὸ μὲν πρῶτον βιβλίον ἀποδοχῆς ἀξιοῖ, συνᾴδοντα διηγούμενον ταῖς τοῦ δανιὴλ προφητείαις· καὶ ὅτι λίαν προμηθῶς διέξεισιν, ὅπως τε ἀνδρῶν μοχθηρία τὰ ἰουδαίων ἤλασεν ἐπ' ἐσχάτων κακῶν, ὅπως τε πάλιν ἀνδρῶν ἀνήνεγκεν ἀρετὴ, καὶ τότε κατὰ τῶν πολεμίων ἐπανείλοντο κράτος, καὶ ὁ νεὼς τῶν ἑλληνικῶν ἀνεκαθάρθη μολυσμάτων. τὸ δεύτερον δὲ μὴ τὸν αὐτὸν μὲν φησιν ἐνδείκνυσθαι συγγραφέα. σύνοψιν δὲ εἶναι τῶν ὑπὸ ἰάσονος τοῦ κυρηναίου ἐν πέντε λόγοις ἀναγεγραμμένων, ᾗ τὸν πόλεμον ἀπαγγέλλει, ὃν ἰούδας ὁ μακκαβαῖος πρὸς ἀντίοχόν τε τὸν ἐπιφανῆ, καὶ τὸν αὐτοῦ παῖδα τὸν ἐπίκλην εὐπάτορα, διεπολέμησε. τὸ δὲ τρίτον ἀποδοκιμάζει, τερατῶδες καλῶν, καὶ οὐδὲν ὅμοιον τῷ πρώτῳ διεξερχόμενον. τὸ μὲν τοίγε τέταρτον ὑπὸ ἰωσήπου γεγράφ-

### *EX LIBRO PRIMO.*

AIт Philostorgius ignorare se, quisnam sit auctor librorũ qui Maccabaici vocantur. Ac C primum quidem eorum librum magnopere probat, utpote qui ea narret, quæ cum Danielis vaticiniis egregiè consentiunt: Et propterea quòd prudenter exponit, quonam modo virorum quidem malitia res Judæorum ad ultimum exitium perduxerit: aliorum autem virorum fortitudo eas restituerit. Quo tempore & Judæi adversus hostes pristinas vires recuperarunt, & templum Græcanicæ superstitionis inquinamentis purgatum est. Secundus autem liber, D ut ait Philostorgius, non ejusdem videtur auctoris ac primus: sed breviarium est eorum quæ ab Jasone Cyrenæo quinque libris conscripta fuerant, in quo refertur id bellum quod Judas Maccabæus gessit cum Antiocho Epiphane, & cum ejusdem filio qui Eupator cognominatus est. Tertium autem Maccabæorum librum improbat Philostorgius, monstrosum eum appellans, & qui nihil narret quod simile sit